*τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,*
*τὸν σοφίῃ Μουσέων μιξάμενον χάριτα,*
*ἀλλ' ἔμολες Πελλαῖον ἐπ' ἠρίον, ὡς ἂν ὁ λάτρις*
*Πιερίδων ναίῃς ἀγχόθι Πιερίης.*

## EURIPIDES

I [II p. 265B., I i 90D.]

*ὦ τὸν ἀγήραντον πόλον αἰθέρος Ἥλιε τέμνων,*
*ἆρ' εἶδες τοιόνδ' ὄμμασι πρόσθε πάθος,*
*μητέρα παρθενικήν τε κόρην δισσούς τε συναίμους*
*ἐν ταὐτῷ φέγγει μοιραδίῳ φθιμένους;*

II [II p. 265B., I i 90D.]

*οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν*
*ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.*

## HIPPON

I [II p. 259B., I i 133D.]

*Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν*
*ἶσον ἐποίησεν Μοῖρα καταφθίμενον.*